μέντοι χρησόμεθα ταῖς τῶν ἀριθμῶν ἐφόδοις κατὰ τὸν τῆς ἑξηκοντάδος τρόπον διὰ τὸ δύσχρηστον τῶν μοριασμῶν ἔτι τε τοῖς πολυπλασιασμοῖς καὶ μερισμοῖς ἀκολουθήσομεν τοῦ συνεγγίζοντος ἀεὶ καταστοχαζόμενοι, καὶ καθ' ὅσον ἂν τὸ παραλειπόμενον μηδενὶ ἀξιολόγῳ διαφέρῃ τοῦ πρὸς αἴσθησιν ἀκριβοῦς.

(ii.) *sin* 18° *and sin* 36°

Ibid. 32. 10–35. 16

Ἔστω δὴ πρῶτον ἡμικύκλιον τὸ ΑΒΓ ἐπὶ διαμέτρου τῆς ΑΔΓ περὶ κέντρον τὸ Δ, καὶ ἀπὸ τοῦ Δ τῇ ΑΓ πρὸς ὀρθὰς γωνίας ἤχθω ἡ ΔΒ, καὶ τετμήσθω δίχα ἡ ΔΓ κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΒ, καὶ κείσθω αὐτῇ ἴση ἡ ΕΖ, καὶ ἐπεζεύχθω ἡ ΖΒ. λέγω, ὅτι ἡ μὲν ΖΔ δεκαγώνου ἐστὶν πλευρά, ἡ δὲ ΒΖ πενταγώνου.

---

[a] By διὰ τῆς ἐκ τῶν γραμμῶν μεθοδικῆς συστάσεως Ptolemy meant more than a graphical method; the phrase indicates a *rigorous proof* by means of geometrical considerations, as will be seen when the argument proceeds; *cf.* the use of διὰ τῶν γραμμῶν *infra*, p. 434. It may be inferred, therefore, that when Hipparchus proved "by means of lines" (διὰ τῶν γραμμῶν, *On the Phaenomena of Eudoxus and Aratus*, ed. Manitius 148-150) certain facts about the risings of stars, he used rigorous, and not merely graphical calculations; in other words, he was familiar with the main formulae of spherical trigonometry.

[b] *i.e.*, ΖΔ is equal to the side of a regular decagon, and ΒΖ to the side of a regular pentagon, inscribed in the circle ΑΒΓ.

tions.[a] In general we shall use the sexagesimal system for the numerical calculations owing to the inconvenience of having fractional parts, especially in multiplications and divisions, and we shall aim at a continually closer approximation, in such a manner that the difference from the correct figure shall be inappreciable and imperceptible.

(ii.) *sin* 18° *and sin* 36°

Ibid. 32. 10–35. 16

First, let ΑΒΓ be a semicircle on the diameter ΑΔΓ and with centre Δ, and from Δ let ΔΒ be drawn per-



pendicular to ΑΓ, and let ΔΓ be bisected at E, and let EB be joined, and let EZ be placed equal to it, and let ZB be joined. I say that ZΔ is the side of a decagon, and BZ of a pentagon.[b]

Ἐπεὶ γὰρ εὐθεῖα γραμμὴ ἡ ΔΓ τέτμηται δίχα κατὰ τὸ Ε, καὶ πρόσκειταί τις αὐτῇ εὐθεῖα ἡ ΔΖ, τὸ ὑπὸ τῶν ΓΖ καὶ ΖΔ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΕΔ τετραγώνου ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΕΖ τετραγώνῳ, τουτέστιν τῷ ἀπὸ τῆς ΒΕ, ἐπεὶ ἴση ἐστὶν ἡ ΕΒ τῇ ΖΕ. ἀλλὰ τῷ ἀπὸ τῆς ΕΒ τετραγώνῳ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΔ καὶ ΔΒ τετράγωνα· τὸ ἄρα ὑπὸ τῶν ΓΖ καὶ ΖΔ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΔΕ τετραγώνου ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν ΕΔ, ΔΒ τετραγώνοις. καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ἀπὸ τῆς ΕΔ τετραγώνου λοιπὸν τὸ ὑπὸ τῶν ΓΖ καὶ ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΔΒ, τουτέστιν τῷ ἀπὸ τῆς ΔΓ· ἡ ΖΓ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Δ. ἐπεὶ οὖν ἡ τοῦ ἑξαγώνου καὶ ἡ τοῦ δεκαγώνου πλευρὰ τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων ἐπὶ τῆς αὐτῆς εὐθείας ἄκρον καὶ μέσον λόγον τέμνονται, ἡ δὲ ΓΔ ἐκ τοῦ κέντρου οὖσα τὴν τοῦ ἑξαγώνου περιέχει πλευράν, ἡ ΔΖ ἄρα ἐστὶν ἴση τῇ τοῦ δεκαγώνου πλευρᾷ. ὁμοίως δέ, ἐπεὶ ἡ τοῦ πενταγώνου πλευρὰ δύναται τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων, τοῦ δὲ ΒΔΖ ὀρθογωνίου τὸ ἀπὸ τῆς ΒΖ τετράγωνον ἴσον ἐστὶν τῷ τε ἀπὸ τῆς ΒΔ, ἥτις ἐστὶν ἑξαγώνου πλευρά, καὶ τῷ ἀπὸ τῆς ΔΖ, ἥτις ἐστὶν δεκαγώνου πλευρά, ἡ ΒΖ ἄρα ἴση ἐστὶν τῇ τοῦ πενταγώνου πλευρᾷ.

Ἐπεὶ οὖν, ὡς ἔφην, ὑποτιθέμεθα τὴν τοῦ κύκλου διάμετρον τμημάτων ρκ̄, γίνεται διὰ τὰ προκείμενα ἡ μὲν ΔΕ ἡμίσεια οὖσα τῆς ἐκ τοῦ κέντρου

[a] Following the usual practice, I shall denote *segments* (*τμήματα*) of the diameter by ^{p}, sixtieth parts of a *τμῆμα* by

For since the straight line $\Delta\Gamma$ is bisected at E, and the straight line ΔZ is added to it,

$$\Gamma Z \cdot Z\Delta + E\Delta^2 = EZ^2 \qquad \text{[Eucl. ii. 6}$$
$$= BE^2,$$

since $EB = ZE$.

But $$E\Delta^2 + \Delta B^2 = EB^2 ; \qquad \text{[Eucl. i. 47}$$

therefore $\Gamma Z \cdot Z\Delta + E\Delta^2 = E\Delta^2 + \Delta B^2$.

When the common term $E\Delta^2$ is taken away,

the remainder $\Gamma Z \cdot Z\Delta = \Delta B^2$

i.e., $= \Delta\Gamma^2$;

therefore $Z\Gamma$ is divided in extreme and mean ratio at Δ [Eucl. vi., Def. 3]. Therefore, since the side of the hexagon and the side of the decagon inscribed in the same circle when placed in one straight line are cut in extreme and mean ratio [Eucl. xiii. 9], and $\Gamma\Delta$, being a radius, is equal to the side of the hexagon [Eucl. iv. 15, coroll.], therefore ΔZ is equal to the side of the decagon. Similarly, since the square on the side of the pentagon is equal to the rectangle contained by the side of the hexagon and the side of the decagon inscribed in the same circle [Eucl. xiii. 10], and in the right-angled triangle $B\Delta Z$ the square on BZ is equal [Eucl. i. 47] to the sum of the squares on $B\Delta$, which is a side of the hexagon, and ΔZ, which is a side of the decagon, therefore BZ is equal to the side of the pentagon.

Then since, as I said, we made the diameter [a] consist of 120^p, by what has been stated ΔE, being half

the numeral with a single accent, and second-sixtieths by the numeral with two accents. As the circular associations of the system tend to be forgotten, and it is used as a general system of enumeration, the same notation will be used for the *squares* of parts.

τμημάτων λ καὶ τὸ ἀπ' αὐτῆς ϡ, ἡ δὲ ΒΔ ἐκ τοῦ κέντρου οὖσα τμημάτων ξ καὶ τὸ ἀπὸ αὐτῆς ,γχ, τὸ δὲ ἀπὸ τῆς ΕΒ, τουτέστιν τὸ ἀπὸ τῆς ΕΖ, τῶν ἐπὶ τὸ αὐτὸ ,δφ· μήκει ἄρα ἔσται ἡ ΕΖ τμημάτων ξζ δ νε ἔγγιστα, καὶ λοιπὴ ἡ ΔΖ τῶν αὐτῶν λζ δ νε. ἡ ἄρα τοῦ δεκαγώνου πλευρά, ὑποτείνουσα δὲ περιφέρειαν τοιούτων λϛ, οἵων ἐστὶν ὁ κύκλος τξ, τοιούτων ἔσται λζ δ νε, οἵων ἡ διάμετρος ρκ. πάλιν ἐπεὶ ἡ μὲν ΔΖ τμημάτων ἐστὶ λζ δ νε, τὸ δὲ ἀπὸ αὐτῆς ,ατοε δ ιε, ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΔΒ τῶν αὐτῶν ,γχ, ἃ συντεθέντα ποιεῖ τὸ ἀπὸ τῆς ΒΖ τετράγωνον ,δϡοε δ ιε, μήκει ἄρα ἔσται ἡ ΒΖ τμημάτων ο λβ γ ἔγγιστα. καὶ ἡ τοῦ πενταγώνου ἄρα πλευρά, ὑποτείνουσα δὲ μοίρας οβ, οἵων ἐστὶν ὁ κύκλος τξ, τοιούτων ἐστὶν ο λβ γ, οἵων ἡ διάμετρος ρκ.

Φανερὸν δὲ αὐτόθεν, ὅτι καὶ ἡ τοῦ ἑξαγώνου πλευρά, ὑποτείνουσα δὲ μοίρας ξ, καὶ ἴση οὖσα τῇ ἐκ τοῦ κέντρου, τμημάτων ἐστὶν ξ. ὁμοίως δέ, ἐπεὶ ἡ μὲν τοῦ τετραγώνου πλευρά, ὑποτείνουσα δὲ μοίρας ϟ, δυνάμει διπλασία ἐστὶν τῆς ἐκ τοῦ κέντρου, ἡ δὲ τοῦ τριγώνου πλευρά, ὑποτείνουσα δὲ μοίρας ρκ, δυνάμει τῆς αὐτῆς ἐστιν τριπλασίων, τὸ δὲ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τμημάτων ἐστὶν ,γχ, συναχθήσεται τὸ μὲν ἀπὸ τῆς τοῦ τετραγώνου πλευρᾶς ,ζσ, τὸ δὲ ἀπὸ τῆς τοῦ τριγώνου $\overset{\alpha}{\mathrm{M}}$ ω. ὥστε καὶ μήκει ἡ μὲν τὰς ϟ μοίρας ὑποτείνουσα εὐθεῖα τοιούτων ἔσται πδ να ι ἔγγιστα, οἵων ἡ

of the radius, consists of 30^p and its square of 900^p, and $B\Delta$, being the radius, consists of 60^p and its square of 3600^p, while EB^2, that is EZ^2, consists of 4500^p; therefore EZ is approximately $67^p\ 4'\ 55''$,[a] and the remainder ΔZ is $37^p\ 4'\ 55''$. Therefore the side of the decagon, subtending an arc of 36° (the whole circle consisting of 360°), is $37^p\ 4'\ 55''$ (the diameter being 120^p). Again, since ΔZ is $37^p\ 4'\ 55''$, its square is $1375^p\ 4'\ 15''$, and the square on ΔB is 3600^p, which added together make the square on BZ $4975^p\ 4'\ 15''$, so that BZ is approximately $70^p\ 32'\ 3''$. And therefore the side of the pentagon, subtending 72° (the circle consisting of 360°), is $70^p\ 32'\ 3''$ (the diameter being 120^p).

Hence it is clear that the side of the hexagon, subtending 60° and being equal to the radius, is 60^p. Similarly, since the square on the side of the square,[b] subtending 90°, is double of the square on the radius, and the square on the side of the triangle, subtending 120°, is three times the square on the radius, while the square on the radius is 3600^p, the square on the side of the square is 7200^p and the square on the side of the triangle is 10800^p. Therefore the chord subtending 90° is approximately $84^p\ 51'\ 10''$ (the diameter

[a] Theon's proof that $\sqrt{4500}$ is approximately $67^p\ 4'\ 55''$ has already been given (vol. i. pp. 56-61).

[b] This is, of course, the square itself; the Greek phrase is not so difficult. We could translate, "the second power of the side of the square," but the notion of powers was outside the ken of the Greek mathematician.

διάμετρος $\overline{\rho\kappa}$, ἡ δὲ τὰς $\overline{\rho\kappa}$ τῶν αὐτῶν $\overline{\rho\gamma}$ $\overline{\nu\epsilon}$ $\overline{\kappa\gamma}$.

(iii.) $\sin^2\theta + \cos^2\theta = 1$

Ibid. 35. 17–36. 12

Αἵδε μὲν οὕτως ἡμῖν ἐκ προχείρου καὶ καθ' αὑτὰς εἰλήφθωσαν, καὶ ἔσται φανερὸν ἐντεῦθεν, ὅτι τῶν διδομένων εὐθειῶν ἐξ εὐχεροῦς δίδονται καὶ αἱ ὑπὸ τὰς λειπούσας εἰς τὸ ἡμικύκλιον περιφερείας ὑποτείνουσαι διὰ τὸ τὰ ἀπ' αὐτῶν συντιθέμενα ποιεῖν τὸ ἀπὸ τῆς διαμέτρου τετράγωνον· οἷον, ἐπειδὴ ἡ ὑπὸ τὰς $\overline{\lambda\varstigma}$ μοίρας εὐθεῖα τμημάτων ἐδείχθη $\overline{\lambda\zeta}$ δ $\overline{\nu\epsilon}$ καὶ τὸ ἀπ' αὐτῆς $\overline{,\alpha\tau o\epsilon}$[a] δ $\overline{\iota\epsilon}$, τὸ δὲ ἀπὸ τῆς διαμέτρου τμημάτων ἐστὶν $\overset{\alpha}{\mathrm{M}}$ $\overline{,\delta\upsilon}$, ἔσται καὶ τὸ μὲν ἀπὸ τῆς ὑποτεινούσης τὰς λειπούσας εἰς τὸ ἡμικύκλιον μοίρας $\overline{\rho\mu\delta}$ τῶν λοιπῶν

[a] Let AB be a chord of a circle subtending an angle a at the centre O, and let AKA′ be drawn perpendicular to OB so as to meet OB in K and the circle again in A′. Then



$$\sin a\ (=\sin \mathrm{AB}) = \frac{\mathrm{AK}}{\mathrm{AO}} = \frac{\frac{1}{2}\mathrm{AA'}}{\mathrm{AO}}.$$

And AA′ is the chord subtended by double of the arc AB, while Ptolemy expresses the lengths of chords as so many 120th parts of the diameter; therefore sin a is half the chord subtended by an angle $2a$ at the centre, which is conveniently abbreviated by Heath to $\frac{1}{2}$(crd. $2a$), or, as we may alternatively express the relationship, sin AB is "half the chord subtended by

consisting of 120^p), and the chord subtending 120° is $103^p\ 55'\ 23''$.[a]

(iii.) $\sin^2\theta + \cos^2\theta = 1$

Ibid. 35. 17–36. 12

The lengths of these chords have thus been obtained immediately and by themselves,[b] and it will be thence clear that, among the given straight lines, the lengths are immediately given of the chords subtending the remaining arcs in the semicircle, by reason of the fact that the sum of the squares on these chords is equal to the square on the diameter; for example, since the chord subtending 36° was shown to be $37^p\ 4'\ 55''$ and its square $1375^p\ 4'\ 15''$, while the square on the diameter is 14400^p, therefore the square on the chord subtending the remaining 144° in the semicircle is

double of the arc AB," which is the Ptolemaic form; as Ptolemy means by this expression precisely what we mean by sin AB, I shall interpolate the trigonometrical notation in the translation wherever it occurs. It follows that cos a $[=\sin(90-a)]=\frac{1}{2}$ crd. $(180^\circ-2a)$, or, as Ptolemy says, "half the chord subtended by the remaining angle in the semicircle." Tan a and the other trigonometrical ratios were not used by the Greeks.

In the passage to which this note is appended Ptolemy proves that

side of decagon (= crd. $36^\circ = 2\sin 18^\circ) = 37^p\ 4'\ 55''$,
side of pentagon (= crd. $72^\circ = 2\sin 36^\circ) = 70^p\ 32'\ 3''$,
side of hexagon (= crd. $60^\circ = 2\sin 30^\circ) = 60^p$,
side of square (= crd. $90^\circ = 2\sin 45^\circ) = 84^p\ 51'\ 10''$,
side of equilateral triangle (= crd. $120^\circ = 2\sin 60^\circ) = 103^p\ 55'\ 23''$.

[b] *i.e.*, not deduced from other known chords.

$\overset{\alpha}{\mathrm{M}},\overline{\gamma\kappa\delta}\ \overline{\nu\epsilon}\ \overline{\mu\epsilon}$, αὐτὴ δὲ μήκει τῶν αὐτῶν $\overline{\rho\iota\delta}\ \overline{\zeta}\ \overline{\lambda\zeta}$ ἔγγιστα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.[a]

Ὃν δὲ τρόπον ἀπὸ τούτων καὶ αἱ λοιπαὶ τῶν κατὰ μέρος δοθήσονται, δείξομεν ἐφεξῆς προεκθέμενοι λημμάτιον εὔχρηστον πάνυ πρὸς τὴν παροῦσαν πραγματείαν.

(iv.) "*Ptolemy's Theorem*"

Ibid. 36. 13–37. 18

Ἔστω γὰρ κύκλος ἐγγεγραμμένον ἔχων τετράπλευρον τυχὸν τὸ ΑΒΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ καὶ ΒΔ. δεικτέον, ὅτι τὸ ὑπὸ τῶν ΑΓ καὶ ΒΔ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ συναμφοτέροις τῷ τε ὑπὸ τῶν ΑΒ, ΔΓ καὶ τῷ ὑπὸ τῶν ΑΔ, ΒΓ.

Κείσθω γὰρ τῇ ὑπὸ τῶν ΔΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΕ. ἐὰν οὖν κοινὴν προσθῶμεν τὴν ὑπὸ ΕΒΔ,

---

[a] *i.e.*, crd. $144^{\circ}(=2 \sin 72^{\circ}) = 114^{p}\ 7'\ 37''$. If the given chord subtends an angle 2θ at the centre, the chord subtended by the remaining arc in the semicircle subtends an angle $(180 - 2\theta)$, and the theorem asserts that

$$(\text{crd. } 2\theta)^2 + (\text{crd. } \overline{180 - 2\theta})^2 = (\text{diameter})^2,$$

or $$\sin^2\theta \quad + \quad \cos^2\theta \quad = 1.$$

13024^p 55′ 45″ and the chord itself is approximately 114^p 7′ 37″, and similarly for the other chords.[a]

We shall explain in due course the manner in which the remaining chords obtained by subdivision can be calculated from these, setting out by way of preface this little lemma which is exceedingly useful for the business in hand.

(iv.) "*Ptolemy's Theorem*"

Ibid. 36. 13–37. 18

Let ΑΒΓΔ be any quadrilateral inscribed in a circle, and let ΑΓ and ΒΔ be joined. It is required to prove that the rectangle contained by ΑΓ and ΒΔ is equal to the sum of the rectangles contained by ΑΒ, ΔΓ and ΑΔ, ΒΓ.

For let the angle ΑΒΕ be placed equal to the angle



ΔΒΓ. Then if we add the angle ΕΒΔ to both, the

ἔσται καὶ ἡ ὑπὸ ΑΒΔ γωνία ἴση τῇ ὑπὸ ΕΒΓ. ἔστιν δὲ καὶ ἡ ὑπὸ ΒΔΑ τῇ ὑπὸ ΒΓΕ ἴση· τὸ γὰρ αὐτὸ τμῆμα ὑποτείνουσιν· ἰσογώνιον ἄρα ἐστὶν τὸ ΑΒΔ τρίγωνον τῷ ΒΓΕ τριγώνῳ. ὥστε καὶ ἀνάλογόν ἐστιν, ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΑ· τὸ ἄρα ὑπὸ ΒΓ, ΑΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔ, ΓΕ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία τῇ ὑπὸ ΔΒΓ γωνίᾳ, ἔστιν δὲ καὶ ἡ ὑπὸ ΒΑΕ ἴση τῇ ὑπὸ ΒΔΓ, ἰσογώνιον ἄρα ἐστὶν τὸ ΑΒΕ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ· ἀνάλογον ἄρα ἐστίν, ὡς ἡ ΒΑ πρὸς ΑΕ, ἡ ΒΔ πρὸς ΔΓ· τὸ ἄρα ὑπὸ ΒΑ, ΔΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔ, ΑΕ. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ ΒΓ, ΑΔ ἴσον τῷ ὑπὸ ΒΔ, ΓΕ· καὶ ὅλον ἄρα τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶν συναμφοτέροις τῷ τε ὑπὸ ΑΒ, ΔΓ καὶ τῷ ὑπὲρ ΑΔ, ΒΓ· ὅπερ ἔδει δεῖξαι.

(v.) $\sin(\theta - \phi) = \sin\theta \cos\phi - \cos\theta \sin\phi$

Ibid. 37. 19–39. 3

Τούτου προεκτεθέντος ἔστω ἡμικύκλιον τὸ ΑΒΓΔ ἐπὶ διαμέτρου τῆς ΑΔ, καὶ ἀπὸ τοῦ Α δύο διήχθωσαν αἱ ΑΒ, ΑΓ, καὶ ἔστω ἑκατέρα αὐτῶν δοθεῖσα τῷ μεγέθει, οἵων ἡ διάμετρος δοθεῖσα ρ̅κ̅, καὶ ἐπεζεύχθω ἡ ΒΓ. λέγω, ὅτι καὶ αὕτη δέδοται.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΔ, ΓΔ· δεδομέναι ἄρα εἰσὶν δηλονότι καὶ αὗται διὰ τὸ λείπειν ἐκείνων εἰς τὸ ἡμικύκλιον. ἐπεὶ οὖν ἐν κύκλῳ τετράπλευρόν ἐστιν τὸ ΑΒΓΔ, τὸ ἄρα ὑπὸ ΑΒ, ΓΔ μετὰ τοῦ

angle ΑΒΔ = the angle ΕΒΓ. But the angle ΒΔΑ = the angle ΒΓΕ [Eucl. iii. 21], for they subtend the same segment; therefore the triangle ΑΒΔ is equiangular with the triangle ΒΓΕ.

∴ ΒΓ : ΓΕ = ΒΔ : ΔΑ; [Eucl. vi. 4

∴ ΒΓ . ΑΔ = ΒΔ . ΓΕ. [Eucl. vi. 6

Again, since the angle ΑΒΕ is equal to the angle ΔΒΓ, while the angle ΒΑΕ is equal to the angle ΒΔΓ [Eucl. iii. 21], therefore the triangle ΑΒΕ is equiangular with the triangle ΒΓΔ;

∴ ΒΑ : ΑΕ = ΒΔ : ΔΓ; [Eucl. vi. 4

∴ ΒΑ . ΔΓ = ΒΔ . ΑΕ. [Eucl. vi. 6

But it was shown that

ΒΓ . ΑΔ = ΒΔ . ΓΕ;

and ∴ ΑΓ . ΒΔ = ΑΒ . ΔΓ + ΑΔ . ΒΓ; [Eucl. ii. 1

which was to be proved.

(v.) $\sin(\theta - \phi) = \sin\theta\cos\phi - \cos\theta\sin\phi$

Ibid. 37. 19–39. 3

This having first been proved, let ΑΒΓΔ be a semicircle having ΑΔ for its diameter, and from Α let the two [chords] ΑΒ, ΑΓ be drawn, and let each of them be given in length, in terms of the 120^p in the diameter, and let ΒΓ be joined. I say that this also is given.

For let ΒΔ, ΓΔ be joined; then clearly these also are given because they are the chords subtending the remainder of the semicircle. Then since ΑΒΓΔ is a quadrilateral in a circle,

ὑπὸ τῶν ΑΔ, ΒΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΓ, ΒΔ. καί ἐστιν τό τε ὑπὸ τῶν ΑΓ, ΒΔ δοθὲν καὶ τὸ



ὑπὸ ΑΒ, ΓΔ· καὶ λοιπὸν ἄρα τὸ ὑπὸ ΑΔ, ΒΓ δοθέν ἐστιν. καί ἐστιν ἡ ΑΔ διάμετρος· δοθεῖσα ἄρα ἐστὶν καὶ ἡ ΒΓ εὐθεῖα.

Καὶ φανερὸν ἡμῖν γέγονεν, ὅτι, ἐὰν δοθῶσιν δύο περιφέρειαι καὶ αἱ ὑπ' αὐτὰς εὐθεῖαι, δοθεῖσα ἔσται καὶ ἡ τὴν ὑπεροχὴν τῶν δύο περιφερειῶν ὑποτείνουσα εὐθεῖα. δῆλον δέ, ὅτι διὰ τούτου τοῦ θεωρήματος ἄλλας τε οὐκ ὀλίγας εὐθείας ἐγγράψομεν ἀπὸ τῶν ἐν ταῖς καθ' αὐτὰς δεδομένων ὑπεροχῶν καὶ δὴ καὶ τὴν ὑπὸ τὰς δώδεκα μοίρας, ἐπειδήπερ ἔχομεν τήν τε ὑπὸ τὰς ξ̄ καὶ τὴν ὑπὸ τὰς οβ.

$$AB \cdot \Gamma\Delta + A\Delta \cdot B\Gamma = A\Gamma \cdot B\Delta.$$

["Ptolemy's theorem"

And $A\Gamma \cdot B\Delta$ is given, and also $AB \cdot \Gamma\Delta$; therefore the remaining term $A\Delta \cdot B\Gamma$ is also given. And $A\Delta$ is the diameter; therefore the straight line $B\Gamma$ is given.[a]

And it has become clear to us that, if two arcs are given and the chords subtending them, the chord subtending the difference of the arcs will also be given. It is obvious that, by this theorem we can inscribe[b] many other chords subtending the difference between given chords, and in particular we may obtain the chord subtending 12°, since we have that subtending 60° and that subtending 72°.

[a] If $A\Gamma$ subtends an angle 2θ and AB an angle 2ϕ at the centre, the theorem asserts that

$$\text{crd. } \overline{2\theta - 2\phi} \cdot (\text{crd. } 180°) = (\text{crd. } 2\theta) \cdot (\text{crd. } \overline{180° - 2\phi}) - (\text{crd. } 2\phi) \cdot (\text{crd. } \overline{180° - 2\theta})$$

i.e., $$\sin(\theta - \phi) = \sin\theta\cos\phi - \cos\theta\sin\phi.$$

[b] Or "calculate," as we might almost translate ἐγγράψομεν: *cf. supra*, p. 414 n. *a* on ἐκ τῶν γραμμῶν.

(vi.) $sin^2 \tfrac{1}{2}\theta = \tfrac{1}{2}(1 - cos\ \theta)$

Ibid. 39. 4–41. 3

Πάλιν προκείσθω δοθείσης τινὸς εὐθείας ἐν κύκλῳ τὴν ὑπὸ τὸ ἥμισυ τῆς ὑποτεινομένης περιφερείας εὐθεῖαν εὑρεῖν. καὶ ἔστω ἡμικύκλιον τὸ ΑΒΓ ἐπὶ διαμέτρου τῆς ΑΓ καὶ δοθεῖσα εὐθεῖα ἡ ΓΒ, καὶ ἡ ΓΒ περιφέρεια δίχα τετμήσθω κατὰ τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΑΔ, ΒΔ, ΔΓ, καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΑΓ κάθετος ἤχθω ἡ ΔΖ. λέγω, ὅτι ἡ ΖΓ ἡμίσειά ἐστι τῆς τῶν ΑΒ καὶ ΑΓ ὑπεροχῆς.

Κείσθω γὰρ τῇ ΑΒ ἴση ἡ ΑΕ, καὶ ἐπεζεύχθω ἡ ΔΕ. ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΑΕ, κοινὴ δὲ ἡ ΑΔ, δύο δὴ αἱ ΑΒ, ΑΔ δύο ταῖς ΑΕ, ΑΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ γωνία ἡ ὑπὸ ΒΑΔ γωνίᾳ τῇ ὑπὸ ΕΑΔ ἴση ἐστίν· καὶ βάσις ἄρα ἡ ΒΔ βάσει τῇ ΔΕ ἴση ἐστίν. ἀλλὰ ἡ ΒΔ τῇ ΔΓ ἴση ἐστίν· καὶ ἡ ΔΓ ἄρα τῇ ΔΕ ἴση ἐστίν. ἐπεὶ οὖν ἰσοσκελοῦς ὄντος τριγώνου τοῦ ΔΕΓ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ ΔΖ, ἴση ἐστὶν ἡ ΕΖ τῇ ΖΓ. ἀλλ' ἡ ΕΓ ὅλη ἡ ὑπεροχή ἐστιν τῶν ΑΒ καὶ ΑΓ εὐθειῶν· ἡ ἄρα ΖΓ ἡμίσειά ἐστιν τῆς τῶν αὐτῶν ὑπεροχῆς. ὥστε, ἐπεὶ τῆς ὑπὸ τὴν ΒΓ περιφέρειαν εὐθείας ὑποκειμένης

(vi.) $sin^2 \frac{1}{2}\theta = \frac{1}{2}(1 - cos\ \theta)$

Ibid. 39. 4–41. 3

Again, given any chord in a circle, let it be required to find the chord subtending half the arc subtended by the given chord. Let ABΓ be a semicircle upon the diameter AΓ and let the chord ΓB be given, and



let the arc ΓB be bisected at Δ, and let AB, AΔ, BΔ, ΔΓ be joined, and from Δ let ΔZ be drawn perpendicular to AΓ. I say that ZΓ is half of the difference between AB and AΓ.

For let AE be placed equal to AB, and let ΔE be joined. Since AB = AE and AΔ is common, [in the triangles ABΔ, AEΔ] the two [sides] AB, AΔ are equal to AE, AΔ each to each; and the angle BAΔ is equal to the angle EAΔ [Eucl. iii. 27]; and therefore the base BΔ is equal to the base ΔE [Eucl. i. 4]. But BΔ = ΔΓ; and therefore ΔΓ = ΔE. Then since the triangle ΔEΓ is isosceles and ΔZ has been drawn from the vertex perpendicular to the base, EZ = ZΓ [Eucl. i. 26]. But the whole EΓ is the difference between the chords AB and AΓ; therefore ZΓ is half of the difference. Thus, since the chord subtending the arc BΓ is given, the chord AB subtending the remainder

αὐτόθεν δέδοται καὶ ἡ λείπουσα εἰς τὸ ἡμικύκλιον ἡ ΑΒ, δοθήσεται καὶ ἡ ΖΓ ἡμίσεια οὖσα τῆς τῶν ΑΓ καὶ ΑΒ ὑπεροχῆς· ἀλλ' ἐπεὶ ἐν ὀρθογωνίῳ τῷ ΑΓΔ καθέτου ἀχθείσης τῆς ΔΖ ἰσογώνιον γίνεται τὸ ΑΔΓ ὀρθογώνιον τῷ ΔΓΖ, καί ἐστιν, ὡς ἡ ΑΓ πρὸς ΓΔ, ἡ ΓΔ πρὸς ΓΖ, τὸ ἄρα ὑπὸ τῶν ΑΓ, ΓΖ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ. δοθὲν δὲ τὸ ὑπὸ τῶν ΑΓ, ΓΖ. δοθὲν ἄρα ἐστὶν καὶ τὸ ἀπὸ τῆς ΓΔ τετράγωνον. ὥστε καὶ μήκει ἡ ΓΔ εὐθεῖα δοθήσεται τὴν ἡμίσειαν ὑποτείνουσα τῆς ΒΓ περιφερείας.

Καὶ διὰ τούτου δὴ πάλιν τοῦ θεωρήματος ἄλλαι τε ληφθήσονται πλεῖσται κατὰ τὰς ἡμισείας τῶν προεκτεθειμένων, καὶ δὴ καὶ ἀπὸ τῆς τὰς ιβ μοίρας ὑποτεινούσης εὐθείας ἥ τε ὑπὸ τὰς ϛ καὶ ἡ ὑπὸ τὰς γ καὶ ἡ ὑπὸ τὴν μίαν ἥμισυ καὶ ἡ ὑπὸ τὸ ἥμισυ τέταρτον τῆς μιᾶς μοίρας. εὑρίσκομεν δὲ ἐκ τῶν ἐπιλογισμῶν τὴν μὲν ὑπὸ τὴν μίαν ἥμισυ μοῖραν τοιούτων α̅ λ̅δ̅ ι̅ε̅ ἔγγιστα, οἵων ἐστὶν ἡ διάμετρος ρ̅κ̅, τὴν δὲ ὑπὸ τὸ ∠′ δ′ τῶν αὐτῶν ο μ̅ζ̅ η̅.

(vii.) $\cos(\theta+\phi)=\cos\theta\cos\phi-\sin\theta\sin\phi$

Ibid. 41. 4–43. 5

Πάλιν ἔστω κύκλος ὁ ΑΒΓΔ περὶ διάμετρον μὲν τὴν ΑΔ, κέντρον δὲ τὸ Ζ, καὶ ἀπὸ τοῦ Α ἀπειλήφθωσαν δύο περιφέρειαι δοθεῖσαι κατὰ τὸ ἑξῆς αἱ ΑΒ, ΒΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ ὑπ' αὐτὰς εὐθεῖαι καὶ αὗται δεδομέναι. λέγω ὅτι, ἐὰν ἐπιζεύξωμεν τὴν ΑΓ, δοθήσεται καὶ αὐτή.

[a] If ΒΓ subtends an angle 2θ at the centre the proposition asserts that

of the semicircle is immediately given, and $Z\Gamma$ will also be given, being half of the difference between $A\Gamma$ and AB. But since the perpendicular ΔZ has been drawn in the right-angled triangle $A\Gamma\Delta$, the right-angled triangle $A\Delta\Gamma$ is equiangular with $\Delta\Gamma Z$ [Eucl. vi. 8], and

$$A\Gamma : \Gamma\Delta = \Gamma\Delta : \Gamma Z,$$

and therefore $\qquad A\Gamma \,.\, \Gamma Z = \Gamma\Delta^2.$

But $A\Gamma \,.\, \Gamma Z$ is given; therefore $\Gamma\Delta^2$ is also given. Therefore the chord $\Gamma\Delta$, subtending half of the arc $B\Gamma$, is also given.[a]

And again by this theorem many other chords can be obtained as the halves of known chords, and in particular from the chord subtending 12° can be obtained the chord subtending 6° and that subtending 3° and that subtending $1\frac{1}{2}^\circ$ and that subtending $\frac{1}{2}^\circ + \frac{1}{4}^\circ (= \frac{3}{4}^\circ)$. We shall find, when we come to make the calculation, that the chord subtending $1\frac{1}{2}^\circ$ is approximately $1^p\ 34'\ 15''$ (the diameter being 120^p) and that subtending $\frac{3}{4}^\circ$ is $0^p\ 47'\ 8''$.[b]

(vii.) $\cos(\theta + \phi) = \cos\theta \cos\phi - \sin\theta \sin\phi$

Ibid. 41. 4–43. 5

Again, let $AB\Gamma\Delta$ be a circle about the diameter $A\Delta$ and with centre Z, and from A let there be cut off in succession two given arcs AB, $B\Gamma$, and let there be joined AB, $B\Gamma$, which, being the chords subtending them, are also given. I say that, if we join $A\Gamma$, it also will be given.

[a] $(\text{crd. } \theta)^2 = \frac{1}{2}(\text{crd. } 180) \,.\, \{(\text{crd. } 180^\circ) - \text{crd. } \overline{180^\circ - 2\theta}\}$
i.e., $\quad \sin^2 \frac{1}{2}\theta = \frac{1}{2}(1 - \cos\theta)$.

[b] The symbol in the Greek for O should be noted; *v.* vol. i. p. 47 n. *a*.

Διήχθω γὰρ διὰ τοῦ Β διάμετρος τοῦ κύκλου ἡ ΒΖΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΔ, ΔΓ, ΓΕ, ΔΕ· δῆλον δὴ αὐτόθεν, ὅτι διὰ μὲν τὴν ΒΓ δοθήσεται καὶ ἡ ΓΕ, διὰ δὲ τὴν ΑΒ δοθήσεται ἥ τε ΒΔ καὶ ἡ ΔΕ. καὶ διὰ τὰ αὐτὰ τοῖς ἔμπροσθεν, ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστιν τὸ ΒΓΔΕ, καὶ διηγμέναι εἰσὶν αἱ ΒΔ, ΓΕ, τὸ ὑπὸ τῶν διηγμένων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶν συναμφοτέροις τοῖς ὑπὸ τῶν ἀπεναντίον· ὥστε, ἐπεὶ δεδομένου τοῦ ὑπὸ τῶν ΒΔ, ΓΕ δέδοται καὶ τὸ ὑπὸ τῶν ΒΓ, ΔΕ, δέδοται ἄρα καὶ τὸ ὑπὸ ΒΕ, ΓΔ. δέδοται δὲ καὶ ἡ ΒΕ διάμετρος, καὶ λοιπὴ ἡ ΓΔ ἔσται δεδομένη, καὶ διὰ τοῦτο καὶ ἡ λείπουσα εἰς τὸ ἡμικύκλιον ἡ ΓΑ· ὥστε, ἐὰν δοθῶσιν δύο περιφέρειαι καὶ αἱ ὑπ᾽ αὐτὰς εὐθεῖαι, δοθήσεται καὶ ἡ συναμφοτέρας τὰς περιφερείας κατὰ σύνθεσιν ὑποτείνουσα εὐθεῖα διὰ τούτου τοῦ θεωρήματος.

---

[a] If ΑΒ subtends an angle 2θ and ΒΓ an angle 2ϕ at the centre, the theorem asserts that

$$(\text{crd. } 180^\circ) \cdot (\text{crd. } \overline{180^\circ - 2\theta - 2\phi}) = (\text{crd. } \overline{180^\circ - 2\theta}) \cdot (\text{crd. } \overline{180^\circ - 2\phi}) - (\text{crd. } 2\theta) \cdot (\text{crd. } 2\phi),$$

i.e., $$\cos(\theta + \phi) = \cos\theta\cos\phi - \sin\theta\sin\phi.$$

For through B let BZE, the diameter of the circle, be drawn, and let BΔ, ΔΓ, ΓE, ΔE be joined; it is



then immediately obvious that, by reason of BΓ being given, ΓE is also given, and by reason of AB being given, both BΔ and ΔE are given. And by the same reasoning as before, since BΓΔE is a quadrilateral in a circle, and BΔ, ΓE are the diagonals, the rectangle contained by the diagonals is equal to the sum of the rectangles contained by the opposite sides. And so, since BΔ . ΓE is given, while BΓ . ΔE is also given, therefore BE . ΓΔ is given. But the diameter BE is given, and [therefore] the remaining term ΓΔ will be given, and therefore the chord ΓΔ subtending the remainder of the semicircle [a]; accordingly, if two arcs be given, and the chords subtending them, by this theorem the chord subtending the sum of the arcs will also be given.

Φανερὸν δέ, ὅτι συντιθέντες ἀεὶ μετὰ τῶν προεκτεθειμένων πασῶν τὴν ὑπὸ ᾱ ∠′ μοῖραν καὶ τὰς συναπτομένας ἐπιλογιζόμενοι πάσας ἁπλῶς ἐγγράψομεν, ὅσαι δὶς γινόμεναι τρίτον μέρος ἕξουσιν, καὶ μόναι ἔτι περιλειφθήσονται αἱ μεταξὺ τῶν ἀνὰ ᾱ ∠′ μοῖραν διαστημάτων δύο καθ' ἕκαστον ἐσόμεναι, ἐπειδήπερ καθ' ἡμιμοίριον ποιούμεθα τὴν ἐγγραφήν. ὥστε, ἐὰν τὴν ὑπὸ τὸ ἡμιμοίριον εὐθεῖαν εὕρωμεν, αὕτη κατά τε τὴν σύνθεσιν καὶ τὴν ὑπεροχὴν τὴν πρὸς τὰς τὰ διαστήματα περιεχούσας καὶ δεδομένας εὐθείας καὶ τὰς λοιπὰς τὰς μεταξὺ πάσας ἡμῖν συναναπληρώσει. ἐπεὶ δὲ δοθείσης τινὸς εὐθείας ὡς τῆς ὑπὸ τὴν ᾱ ∠′ μοῖραν ἡ τὸ τρίτον τῆς αὐτῆς περιφερείας ὑποτείνουσα διὰ τῶν γραμμῶν οὐ δίδοταί πως· εἰ δέ γε δυνατὸν ἦν, εἴχομεν ἂν αὐτόθεν καὶ τὴν ὑπὸ τὸ ἡμιμοίριον· πρότερον μεθοδεύσομεν τὴν ὑπὸ τὴν ᾱ μοῖραν ἀπό τε τῆς ὑπὸ τὴν ᾱ ∠′ μοῖραν καὶ τῆς ὑπὸ ∠′ δ′ ὑποτεθέμενοι λημμάτιον, ὅ, κἂν μὴ πρὸς τὸ καθόλου δύνηται τὰς πηλικότητας ὁρίζειν, ἐπί γε τῶν οὕτως ἐλαχίστων τὸ πρὸς τὰς ὡρισμένας ἀπαράλλακτον δύναιτ' ἂν συντηρεῖν.

(viii.) *Method of Interpolation*

Ibid. 43. 6–46. 20

Λέγω γάρ, ὅτι ἐὰν ἐν κύκλῳ διαχθῶσιν ἄνισοι δύο εὐθεῖαι, ἡ μείζων πρὸς τὴν ἐλάσσονα ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ἐπὶ τῆς μείζονος εὐθείας περιφέρεια πρὸς τὴν ἐπὶ τῆς ἐλάσσονος.

Ἔστω γὰρ κύκλος ὁ ΑΒΓΔ, καὶ διήχθωσαν ἐν αὐτῷ δύο εὐθεῖαι ἄνισοι ἐλάσσων μὲν ἡ ΑΒ,

It is clear that, by continually putting next to all known chords a chord subtending $1\frac{1}{2}°$ and calculating the chords joining them, we may compute in a simple manner all chords subtending multiples of $1\frac{1}{2}°$, and there will still be left only those within the $1\frac{1}{2}°$ intervals—two in each case, since we are making the diagram in half degrees. Therefore, if we find the chord subtending $\frac{1}{2}°$, this will enable us to complete, by the method of addition and subtraction with respect to the chords bounding the intervals, both the given chords and all the remaining, intervening chords. But when any chord subtending, say, $1\frac{1}{2}°$, is given, the chord subtending the third part of the same arc is not given by the [above] calculations—if it were, we should obtain immediately the chord subtending $\frac{1}{2}°$; therefore we shall first give a method for finding the chord subtending $1°$ from the chord subtending $1\frac{1}{2}°$ and that subtending $\frac{3}{4}°$, assuming a little lemma which, even though it cannot be used for calculating lengths in general, in the case of such small chords will enable us to make an approximation indistinguishable from the correct figure.

(viii.) *Method of Interpolation*

Ibid. 43. 6–46. 20

For I say that, *if two unequal chords be drawn in a circle, the greater will bear to the less a less ratio than that which the arc on the greater chord bears to the arc on the lesser.*

For let ΑΒΓΔ be a circle, and in it let there be drawn two unequal chords, of which ΑΒ is the lesser

μείζων δὲ ἡ ΒΓ. λέγω, ὅτι ἡ ΓΒ εὐθεῖα πρὸς τὴν ΒΑ εὐθεῖαν ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΒΑ περιφέρειαν.

Τετμήσθω γὰρ ἡ ὑπὸ ΑΒΓ γωνία δίχα ὑπὸ τῆς ΒΔ, καὶ ἐπεζεύχθωσαν ἥ τε ΑΕΓ καὶ ἡ ΑΔ καὶ ἡ ΓΔ. καὶ ἐπεὶ ἡ ὑπὸ ΑΒΓ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΒΕΔ εὐθείας, ἴση μέν ἐστιν ἡ ΓΔ εὐθεῖα τῇ ΑΔ, μείζων δὲ ἡ ΓΕ τῆς ΕΑ. ἤχθω δὴ ἀπὸ τοῦ Δ κάθετος ἐπὶ τὴν ΑΕΓ ἡ ΔΖ. ἐπεὶ τοίνυν μείζων ἐστὶν ἡ μὲν ΑΔ τῆς ΕΔ, ἡ δὲ ΕΔ τῆς ΔΖ, ὁ ἄρα κέντρῳ μὲν τῷ Δ, διαστήματι δὲ τῷ ΔΕ γραφόμενος κύκλος τὴν μὲν ΑΔ τεμεῖ, ὑπερπεσεῖται δὲ τὴν ΔΖ. γεγράφθω δὴ ὁ ΗΕΘ, καὶ ἐκβεβλήσθω ἡ ΔΖΘ.[a] καὶ ἐπεὶ ὁ μὲν ΔΕΘ τομεὺς μείζων ἐστὶν τοῦ ΔΕΖ τριγώνου, τὸ δὲ ΔΕΑ τρίγωνον μεῖζον τοῦ ΔΕΗ τομέως, τὸ ἄρα ΔΕΖ

[a] Lit. "let ΔΖΘ be produced."

and ΒΓ the greater. I say that

$$\Gamma B : BA < \text{arc } B\Gamma : \text{arc } BA.$$

For let the angle ΑΒΓ be bisected by ΒΔ, and let



ΑΕΓ and ΑΔ and ΓΔ be joined. Then since the angle ΑΒΓ is bisected by the chord ΒΕΔ, the chord ΓΔ = ΑΔ [Eucl. iii. 26, 29], while ΓΕ > ΕΑ [Eucl. vi. 3]. Now let ΔΖ be drawn from Δ perpendicular to ΑΕΓ. Then since ΑΔ > ΕΔ, and ΕΔ > ΔΖ, the circle described with centre Δ and radius ΔΕ will cut ΑΔ, and will fall beyond ΔΖ. Let [the arc] ΗΕΘ be described, and let ΔΖ be produced to Θ.[a] Then since

sector ΔΕΘ > triangle ΔΕΖ,

and triangle ΔΕΑ > sector ΔΕΗ,

τρίγωνον πρὸς τὸ ΔΕΑ τρίγωνον ἐλάσσονα λόγον ἔχει ἤπερ ὁ ΔΕΘ τομεὺς πρὸς τὸν ΔΕΗ. ἀλλ' ὡς μὲν τὸ ΔΕΖ τρίγωνον πρὸς τὸ ΔΕΑ τρίγωνον, οὕτως ἡ ΕΖ εὐθεῖα πρὸς τὴν ΕΑ, ὡς δὲ ὁ ΔΕΘ τομεὺς πρὸς τὸν ΔΕΗ τομέα, οὕτως ἡ ὑπὸ ΖΔΕ γωνία πρὸς τὴν ὑπὸ ΕΔΑ· ἡ ἄρα ΖΕ εὐθεῖα πρὸς τὴν ΕΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΖΔΕ γωνία πρὸς τὴν ὑπὸ ΕΔΑ. καὶ συνθέντι ἄρα ἡ ΖΑ εὐθεῖα πρὸς τὴν ΕΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΖΔΑ γωνία πρὸς τὴν ὑπὸ ΑΔΕ· καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ἡ ΓΑ εὐθεῖα πρὸς τὴν ΑΕ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΓΔΑ γωνία πρὸς τὴν ὑπὸ ΕΔΑ· καὶ διελόντι ἡ ΓΕ εὐθεῖα πρὸς τὴν ΕΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ ΓΔΕ γωνία πρὸς τὴν ὑπὸ ΕΔΑ. ἀλλ' ὡς μὲν ἡ ΓΕ εὐθεῖα πρὸς τὴν ΕΑ, οὕτως ἡ ΓΒ εὐθεῖα πρὸς τὴν ΒΑ, ὡς δὲ ἡ ὑπὸ ΓΔΒ γωνία πρὸς τὴν ὑπὸ ΒΔΑ, οὕτως ἡ ΓΒ περιφέρεια πρὸς τὴν ΒΑ· ἡ ΓΒ ἄρα εὐθεῖα πρὸς τὴν ΒΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΓΒ περιφέρεια πρὸς τὴν ΒΑ περιφέρειαν.

Τούτου δὴ οὖν ὑποκειμένου ἔστω κύκλος ὁ ΑΒΓ, καὶ διήχθωσαν ἐν αὐτῷ δύο εὐθεῖαι ἥ τε ΑΒ καὶ ἡ ΑΓ, ὑποκείσθω δὲ πρῶτον ἡ μὲν ΑΒ ὑποτείνουσα μιᾶς μοίρας ∠′ δ′, ἡ δὲ ΑΓ μοῖραν ᾱ. ἐπεὶ ἡ ΑΓ εὐθεῖα πρὸς τὴν ΒΑ εὐθεῖαν ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΑΓ περιφέρεια πρὸς τὴν ΑΒ, ἡ δὲ ΑΓ περιφέρεια ἐπίτριτός ἐστιν τῆς ΑΒ, ἡ ΓΑ ἄρα εὐθεῖα τῆς ΒΑ ἐλάσσων ἐστὶν ἢ ἐπίτριτος. ἀλλὰ ἡ ΑΒ εὐθεῖα ἐδείχθη τοιούτων ο μζ η̄, οἵων ἐστὶν ἡ διάμετρος $\overline{\rho\kappa}$· ἡ ἄρα ΓΑ

∴ triangle ΔEZ : triangle ΔEA < sector ΔEΘ : sector ΔEH.

But triangle ΔEZ : triangle ΔEA = EZ : EA, [Eucl. vi. 1

and

sector ΔEΘ : sector ΔEH = angle ZΔE : angle EΔA.

∴ ZE : EA < angle ZΔE : angle EΔA.

∴ *componendo*, ZA : EA < angle ZΔA : angle AΔE ;

and, by doubling the antecedents,

ΓA : AE < angle ΓΔA : angle EΔA ;

and *dirimendo*, ΓE : EA < angle ΓΔE : angle EΔA.

But ΓE : EA = ΓB : BA, [Eucl. vi. 3

and

angle ΓΔB : angle BΔA = arc ΓB : arc BA ; [Eucl. vi. 33

∴ ΓB : BA < arc ΓB : arc BA.[a]

On this basis, then, let ABΓ be a circle, and in it let there be drawn the two chords AB and AΓ, and let it first be supposed that AB subtends an angle of $\frac{3}{4}°$ and AΓ an angle of 1°. Then since

AΓ : BA < arc AΓ : arc AB,

while arc AΓ = $\frac{4}{3}$. arc AB,

∴ ΓA : BA < $\frac{4}{3}$.

But the chord AB was shown to be 0^p 47′ 8″ (the diameter being 120^p); therefore the chord ΓA

[a] If the chords ΓB, BA subtend angles 2θ, 2ϕ at the centre, this is equivalent to the formula,

$$\frac{\sin\theta}{\sin\phi} < \frac{\theta}{\phi},$$

where $\theta < \phi < \frac{1}{2}\pi$.

εὐθεῖα ἐλάσσων ἐστὶν τῶν αὐτῶν ᾱ β̄ ν̄· ταῦτα γὰρ ἐπίτριτά ἐστιν ἔγγιστα τῶν ο μ̄ζ̄ η̄.

Πάλιν ἐπὶ τῆς αὐτῆς καταγραφῆς ἡ μὲν ΑΒ εὐθεῖα ὑποκείσθω ὑποτείνουσα μοῖραν ᾱ, ἡ δὲ ΑΓ μοῖραν ᾱ ∠΄. κατὰ τὰ αὐτὰ δή, ἐπεὶ ἡ ΑΓ περιφέρεια τῆς ΑΒ ἐστιν ἡμιολία, ἡ ΓΑ ἄρα εὐθεῖα τῆς ΒΑ ἐλάσσων ἐστὶν ἢ ἡμιόλιος. ἀλλὰ τὴν ΑΓ ἀπεδείξαμεν τοιούτων οὖσαν ᾱ λ̄δ̄ ῑε̄, οἵων ἐστὶν ἡ διάμετρος ρ̄κ̄· ἡ ἄρα ΑΒ εὐθεῖα μείζων ἐστὶν τῶν αὐτῶν ᾱ β̄ ν̄· τούτων γὰρ ἡμιόλιά ἐστιν τὰ προκείμενα ᾱ λ̄δ̄ ῑε̄. ὥστε, ἐπεὶ τῶν αὐτῶν ἐδείχθη καὶ μείζων καὶ ἐλάσσων ἡ τὴν μίαν μοῖραν ὑποτείνουσα εὐθεῖα, καὶ ταύτην δηλονότι ἕξομεν τοιούτων ᾱ β̄ ν̄ ἔγγιστα, οἵων ἐστὶν ἡ διάμετρος ρ̄κ̄, καὶ διὰ τὰ προδεδειγμένα καὶ τὴν ὑπὸ τὸ ἡμιμοίριον, ἥτις εὑρίσκεται τῶν αὐτῶν

$<1^p\ 2'\ 50''$; for this is approximately four-thirds of $0^p\ 47'\ 8''$.

Again, with the same diagram, let the chord AB



be supposed to subtend an angle of 1°, and AΓ an angle of $1\frac{1}{2}°$. By the same reasoning,

since $\qquad \text{arc } A\Gamma = \frac{3}{2}\,.\,\text{arc } AB,$

$\therefore \qquad \Gamma A : BA < \frac{3}{2}.$

But we have proved AΓ to be $1^p\ 34'\ 15''$ (the diameter being 120^p); therefore the chord AB$> 1^p\ 2'\ 50''$; for $1^p\ 34'\ 15''$ is one-and-a-half times this number. Therefore, since the chord subtending an angle of 1° has been shown to be both greater and less than [approximately] the same [length], manifestly we shall find it to have approximately this identical value $1^p\ 2'\ 50''$ (the diameter being 120^p), and by what has been proved before we shall obtain the chord subtending $\frac{1}{2}°$, which is found to be approximately

Ο $\overline{λα}$ $\overline{κε}$ ἔγγιστα. καὶ συναναπληρωθήσεται τὰ λοιπά, ὡς ἔφαμεν, διαστήματα ἐκ μὲν τῆς πρὸς τὴν μίαν ἥμισυ μοῖραν λόγου ἕνεκεν ὡς ἐπὶ τοῦ πρώτου διαστήματος συνθέσεως τοῦ ἡμιμοιρίου δεικνυμένης τῆς ὑπὸ τὰς $\bar{β}$ μοίρας, ἐκ δὲ τῆς ὑπεροχῆς τῆς πρὸς τὰς $\bar{γ}$ μοίρας καὶ τῆς ὑπὸ τὰς $\bar{β}$ ∠ʹ διδομένης· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν.

(ix.) *The Table*

Ibid. 46. 21–63. 46

Ἡ μὲν οὖν πραγματεία τῶν ἐν τῷ κύκλῳ εὐθειῶν οὕτως ἂν οἶμαι ῥᾷστα μεταχειρισθείη. ἵνα δέ, ὡς ἔφην, ἐφʼ ἑκάστης τῶν χρειῶν ἐξ ἑτοίμου τὰς πηλικότητας ἔχωμεν τῶν εὐθειῶν ἐκκειμένας, κανόνια ὑποτάξομεν ἀνὰ στίχους $\overline{με}$ διὰ τὸ σύμμετρον, ὧν τὰ μὲν πρῶτα μέρη περιέξει τὰς πηλικότητας τῶν περιφερειῶν καθʼ ἡμιμοίριον παρηυξημένας, τὰ δὲ δεύτερα τὰς τῶν παρακειμένων ταῖς περιφερείαις εὐθειῶν πηλικότητας ὡς τῆς διαμέτρου τῶν $\overline{ρκ}$ τμημάτων ὑποκειμένης, τὰ δὲ τρίτα τὸ λʹ μέρος τῆς καθʼ ἕκαστον ἡμιμοίριον τῶν εὐθειῶν παραυξήσεως, ἵνα ἔχοντες καὶ τὴν τοῦ ἑνὸς ἑξηκοστοῦ μέσην ἐπιβολὴν ἀδιαφοροῦσαν πρὸς αἴσθησιν τῆς ἀκριβοῦς καὶ τῶν μεταξὺ τοῦ ἡμίσους μερῶν ἐξ ἑτοίμου τὰς ἐπιβαλλούσας πηλικότητας ἐπιλογίζεσθαι δυνώμεθα. εὐκατανόητον δʼ, ὅτι διὰ τῶν αὐτῶν καὶ προκειμένων θεωρημάτων, κἂν ἐν δισταγμῷ γενώμεθα γραφικῆς ἁμαρτίας περί τινα τῶν ἐν τῷ κανονίῳ παρακειμένων εὐθειῶν, ῥᾳδίαν ποιησόμεθα τήν τε ἐξέτασιν καὶ τὴν

$0^p\ 31'\ 25''$. The remaining intervals may be completed, as we said, by means of the chord subtending $1\frac{1}{2}°$—in the case of the first interval, for example, by adding $\frac{1}{2}°$ we obtain the chord subtending $2°$, and from the difference between this and $3°$ we obtain the chord subtending $2\frac{1}{2}°$, and so on for the remainder.

(ix.) *The Table*

Ibid. 46. 21–63. 46

The theory of the chords in the circle may thus, I think, be very easily grasped. In order that, as I said, we may have the lengths of all the chords in common use immediately available, we shall draw up tables arranged in forty-five symmetrical rows.[a] The first section will contain the magnitudes of the arcs increasing by half degrees, the second will contain the lengths of the chords subtending the arcs measured in parts of which the diameter contains 120, and the third will give the thirtieth part of the increase in the chords for each half degree, in order that for every sixtieth part of a degree we may have a mean approximation differing imperceptibly from the true figure and so be able readily to calculate the lengths corresponding to the fractions between the half degrees. It should be well noted that, by these same theorems now before us, if we should suspect an error in the computation of any of the chords in the table,[b] we can easily make a test and

[a] As there are 360 half degrees in the table, the statement appears to mean that the table occupied eight pages each of 45 rows; so Manitius, *Des Claudius Ptolemäus Handbuch der Astronomie*, 1er Bd., p. 35 n. *a*.

[b] Such an error might be accumulated by using the approximations for $1°$ and $\frac{1}{2}°$; but, in fact, the sines in the table are generally correct to five places of decimals.

ἐπανόρθωσιν ἤτοι ἀπὸ τῆς ὑπὸ τὴν διπλασίονα τῆς ἐπιζητουμένης ἢ τῆς πρὸς ἄλλας τινὰς τῶν δεδομένων ὑπεροχῆς ἢ τῆς τὴν λείπουσαν εἰς τὸ ἡμικύκλιον περιφέρειαν ὑποτεινούσης εὐθείας. καί ἐστιν ἡ τοῦ κανονίου καταγραφὴ τοιαύτη·

ια′. Κανόνιον *τῶν ἐν κύκλῳ εὐθειῶν*

περιφερειῶν	*εὐθειῶν*			*ἑξηκοστῶν*			
∠′	ο	λα	κε	ο	α	β	ν
α	α	β	ν	ο	α	β	ν
α ∠′	α	λδ	ιε	ο	α	β	ν
β	β	ε	μ	ο	α	β	ν
β ∠′	β	λζ	δ	ο	α	β	μη
γ	γ	η	κη	ο	α	β	μη
γ ∠′	γ	λθ	νβ	ο	α	β	μη
δ	δ	ια	ιϛ	ο	α	β	μζ
δ ∠′	δ	μβ	μ	ο	α	β	μζ
.	.	.	.	.	.	.	
ξ	ξ	ο	ο	ο	ο	νδ	κα
.	.	.	.	.	.	.	
ροϛ	ριθ	νε	λη	ο	ο	β	γ
ροϛ ∠′	ριθ	νϛ	λθ	ο	ο	α	μζ
ροζ	ριθ	νζ	λβ	ο	ο	α	λ
ροζ ∠′	ριθ	νη	ιη	ο	ο	α	ιδ
ροη	ριθ	νη	νε	ο	ο	ο	νζ
ροη ∠′	ριθ	νθ	κδ	ο	ο	ο	μα
ροθ	ριθ	νθ	μδ	ο	ο	ο	κε
ροθ ∠′	ριθ	νθ	νϛ	ο	ο	ο	θ
ρπ	ρκ	ο	ο	ο	ο	ο	ο

apply a correction, either from the chord subtending double of the arc which is under investigation, or from the difference with respect to any others of the given magnitudes, or from the chord subtending the remainder of the semicircular arc. And this is the diagram of the table :

11. Table of the Chords in a Circle

Arcs	Chords			Sixtieths			
½°	0^p	31′	25″	0^p	1′	2″	50‴
1	1	2	50	0	1	2	50
1½	1	34	15	0	1	2	50
2	2	5	40	0	1	2	50
2½	2	37	4	0	1	2	48
3	3	8	28	0	1	2	48
3½	3	39	52	0	1	2	48
4	4	11	16	0	1	2	47
4½	4	42	40	0	1	2	47
·	·	·	·	·	·	·	·
60	60	0	0	0	0	54	21
·	·	·	·	·	·	·	·
176	119	55	38	0	0	2	3
176½	119	56	39	0	0	1	47
177	119	57	32	0	0	1	30
177½	119	58	18	0	0	1	17
178	119	58	55	0	0	0	57
178½	119	59	24	0	0	0	41
179	119	59	44	0	0	0	25
179½	119	59	56	0	0	0	9
180	120	0	0	0	0	0	0

(c) Menelaus's Theorem

(i.) Lemmas

Ibid. 68. 14–74. 8

ιγ'. Προλαμβανόμενα εἰς τὰς σφαιρικὰς δείξεις

Ἀκολούθου δ' ὄντος ἀποδεῖξαι καὶ τὰς κατὰ μέρος γινομένας πηλικότητας τῶν ἀπολαμβανομένων περιφερειῶν μεταξὺ τοῦ τε ἰσημερινοῦ καὶ τοῦ διὰ μέσων τῶν Ζῳδίων κύκλου τῶν γραφομένων μεγίστων κύκλων διὰ τῶν τοῦ ἰσημερινοῦ πόλων προεκθησόμεθα λημμάτια βραχέα καὶ εὔχρηστα, δι' ὧν τὰς πλείστας σχεδὸν δείξεις τῶν σφαιρικῶς θεωρουμένων, ὡς ἔνι μάλιστα, ἁπλούστερον καὶ μεθοδικώτερον ποιησόμεθα.

Εἰς δύο δὴ εὐθείας τὰς ΑΒ καὶ ΑΓ διαχθεῖσαι δύο εὐθεῖαι ἥ τε ΒΕ καὶ ἡ ΓΔ τεμνέτωσαν ἀλλήλας

(c) Menelaus's Theorem

(i.) *Lemmas*

Ibid. 68. 14–74. 8

13. Preliminary matter for the spherical proofs

The next subject for investigation being to show the lengths of the arcs, intercepted between the celestial equator and the zodiac circle, of great circles drawn through the poles of the equator, we shall set out some brief and serviceable little lemmas, by means of which we shall be able to prove more simply and more systematically most of the questions investigated spherically.

Let two straight lines BE and ΓΔ be drawn so as



to meet the straight lines AB and AΓ and to cut one

κατὰ τὸ Ζ σημεῖον. λέγω, ὅτι ὁ τῆς ΓΑ πρὸς ΑΕ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΓΔ πρὸς ΔΖ καὶ τοῦ τῆς ΖΒ πρὸς ΒΕ.

Ἤχθω γὰρ διὰ τοῦ Ε τῇ ΓΔ παράλληλος ἡ ΕΗ. ἐπεὶ παράλληλοί εἰσιν αἱ ΓΔ καὶ ΕΗ, ὁ τῆς ΓΑ πρὸς ΕΑ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΓΔ πρὸς ΕΗ. ἔξωθεν δὲ ἡ ΖΔ· ὁ ἄρα τῆς ΓΔ πρὸς ΕΗ λόγος συγκείμενος ἔσται ἔκ τε τοῦ τῆς ΓΔ πρὸς ΔΖ καὶ τοῦ τῆς ΔΖ πρὸς ΗΕ· ὥστε καὶ ὁ τῆς ΓΑ πρὸς ΑΕ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΓΔ πρὸς ΔΖ καὶ τοῦ τῆς ΔΖ πρὸς ΗΕ. ἔστιν δὲ καὶ ὁ τῆς ΔΖ πρὸς ΗΕ λόγος ὁ αὐτὸς τῷ τῆς ΖΒ πρὸς ΒΕ διὰ τὸ παραλλήλους πάλιν εἶναι τὰς ΕΗ καὶ ΖΔ· ὁ ἄρα τῆς ΓΑ πρὸς ΑΕ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΓΔ πρὸς ΔΖ καὶ τοῦ τῆς ΖΒ πρὸς ΒΕ· ὅπερ προέκειτο δεῖξαι.

Κατὰ τὰ αὐτὰ δὲ δειχθήσεται, ὅτι καὶ κατὰ διαίρεσιν ὁ τῆς ΓΕ πρὸς ΕΑ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΓΖ πρὸς ΔΖ καὶ τοῦ τῆς ΔΒ πρὸς ΒΑ, διὰ τοῦ Α τῇ ΕΒ παραλλήλου ἀχθείσης καὶ

---

[a] Lit. "the ratio of ΓΑ to ΑΕ is compounded of the ratio of ΓΔ to ΔΖ and ΖΒ to ΒΕ."

another at the point Z. I say that

$$\Gamma A : AE = (\Gamma\Delta : \Delta Z)(ZB : BE).^a$$

For through E let EH be drawn parallel to ΓΔ. Since ΓΔ and EH are parallel,

$$\Gamma A : EA = \Gamma\Delta : EH. \qquad \text{[Eucl. vi. 4}$$

But ZΔ is an external [straight line];

$\therefore \quad \Gamma\Delta : EH = (\Gamma\Delta : \Delta Z)(\Delta Z : HE)$;

$\therefore \quad \Gamma A : AE = (\Gamma\Delta : \Delta Z)(\Delta Z : HE)$.

But $\quad \Delta Z : HE = ZB : BE$, [Eucl. vi. 4

by reason of the fact that EH and ZΔ are parallels;

$\therefore \quad \Gamma A : AE = (\Gamma\Delta : \Delta Z)(ZB : BE)$; . (1)

which was set to be proved.

With the same premises, it will be shown by transformation of ratios that

$$\Gamma E : EA = (\Gamma Z : \Delta Z)(\Delta B : BA),$$



[a] a parallel to EB being drawn through A and ΓΔH

προσεκβληθείσης ἐπ' αὐτὴν τῆς ΓΔΗ. ἐπεὶ γὰρ πάλιν παράλληλός ἐστιν ἡ ΑΗ τῇ ΕΖ, ἔστιν, ὡς ἡ ΓΕ πρὸς ΕΑ, ἡ ΓΖ πρὸς ΖΗ. ἀλλὰ τῆς ΖΔ ἔξωθεν λαμβανομένης ὁ τῆς ΓΖ πρὸς ΖΗ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΓΖ πρὸς ΖΔ καὶ τοῦ τῆς ΔΖ πρὸς ΖΗ· ἔστιν δὲ ὁ τῆς ΔΖ πρὸς ΖΗ λόγος ὁ αὐτὸς τῷ τῆς ΔΒ πρὸς ΒΑ διὰ τὸ εἰς παραλλήλους τὰς ΑΗ καὶ ΖΒ διῆχθαι τὰς ΒΑ καὶ ΖΗ· ὁ ἄρα τῆς ΓΖ πρὸς ΖΗ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΓΖ πρὸς ΔΖ καὶ τοῦ τῆς ΔΒ πρὸς ΒΑ. ἀλλὰ τῷ τῆς ΓΖ πρὸς ΖΗ λόγῳ ὁ αὐτός ἐστιν ὁ τῆς ΓΕ πρὸς ΕΑ· καὶ ὁ τῆς ΓΕ ἄρα πρὸς ΕΑ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΓΖ πρὸς ΔΖ καὶ τοῦ τῆς ΔΒ πρὸς ΒΑ· ὅπερ ἔδει δεῖξαι.

Πάλιν ἔστω κύκλος ὁ ΑΒΓ, οὗ κέντρον τὸ Δ, καὶ εἰλήφθω ἐπὶ τὰς περιφερείας αὐτοῦ τυχόντα

being produced to it. For, again, since AH is parallel to EZ,

$$\Gamma E : EA = \Gamma Z : ZH. \qquad \text{[Eucl. vi. 2}$$

But, an external straight line $Z\Delta$ having been taken,

$$\Gamma Z : ZH = (\Gamma Z : Z\Delta)(\Delta Z : ZH) ;$$

and $\qquad \Delta Z : ZH = \Delta B : BA,$

by reason of BA and ZH being drawn to meet the parallels AH and ZB;

$\therefore \qquad \Gamma Z : ZH = (\Gamma Z : \Delta Z)(\Delta B : BA).$

But $\qquad \Gamma Z : ZH = \Gamma E : EA ;$ [*supra*

and $\therefore \qquad \Gamma E : EA = (\Gamma Z : \Delta Z)(\Delta B : BA) ; \quad . \ (2)$

which was to be proved.

Again, let $AB\Gamma$ be a circle with centre Δ, and let



there be taken on its circumference any three points

τρία σημεῖα τὰ Α, Β, Γ, ὥστε ἑκατέραν τῶν ΑΒ, ΒΓ περιφερειῶν ἐλάσσονα εἶναι ἡμικυκλίου· καὶ ἐπὶ τῶν ἑξῆς δὲ λαμβανομένων περιφερειῶν τὸ ὅμοιον ὑπακουέσθω· καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ καὶ ΔΕΒ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ὑπὸ τὴν διπλῆν τῆς ΑΒ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΓ, οὕτως ἡ ΑΕ εὐθεῖα πρὸς τὴν ΕΓ εὐθεῖαν.

Ἤχθωσαν γὰρ κάθετοι ἀπὸ τῶν Α καὶ Γ σημείων ἐπὶ τὴν ΔΒ ἥ τε ΑΖ καὶ ἡ ΓΗ. ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΖ τῇ ΓΗ, καὶ διῆκται εἰς αὐτὰς εὐθεῖα ἡ ΑΕΓ, ἔστιν, ὡς ἡ ΑΖ πρὸς τὴν ΓΗ, οὕτως ἡ ΑΕ πρὸς ΕΓ. ἀλλ' ὁ αὐτός ἐστιν λόγος ὁ τῆς ΑΖ πρὸς ΓΗ καὶ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΑΒ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΓ· ἡμίσεια γὰρ ἑκατέρα ἑκατέρας· καὶ ὁ τῆς ΑΕ ἄρα πρὸς ΕΓ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΑΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΓ· ὅπερ ἔδει δεῖξαι.

Παρακολουθεῖ δ' αὐτόθεν, ὅτι, κἂν δοθῶσιν ἥ τε ΑΓ ὅλη περιφέρεια καὶ ὁ λόγος ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΑΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΓ, δοθήσεται καὶ ἑκατέρα τῶν ΑΒ καὶ ΒΓ περιφερειῶν. ἐκτεθείσης γὰρ τῆς αὐτῆς καταγραφῆς ἐπεζεύχθω ἡ ΑΔ, καὶ ἤχθω ἀπὸ τοῦ Δ κάθετος ἐπὶ τὴν ΑΕΓ ἡ ΔΖ. ὅτι μὲν οὖν τῆς ΑΓ περι-

A, B, Γ, in such a manner that each of the arcs AB, BΓ is less than a semicircle ; and upon the arcs taken in succession let there be a similar relationship ; and let AΓ be joined and ΔEB. I say that

the chord subtended by double of the arc AB :
the chord subtended by double of the arc BΓ

[*i.e.*, sin AB : sin BΓ [a]] = AE : EΓ.

For let perpendiculars AZ and ΓH be drawn from the points A and Γ to ΔB. Since AZ is parallel to ΓH, and the straight line AEΓ has been drawn to meet them,

AZ : ΓH = AE : EΓ. [Eucl. vi. 4

But AZ : ΓH = the chord subtended by double of the arc AB :
the chord subtended by double of the arc BΓ,

for each term is half of the corresponding term ; and therefore

AE : EΓ = the chord subtended by double of the arc AB :
the chord subtended by double of the arc BΓ. . . . (3)
[= sin AB : sin BΓ],

which was to be proved.

It follows immediately that, if the whole arc AΓ be given, and the ratio of the chord subtended by double of the arc AB to the chord subtended by double of the arc BΓ [*i.e.* sin AB : sin BΓ], each of the arcs AB and BΓ will also be given. For let the same diagram be set out, and let AΔ be joined, and from Δ let ΔZ be drawn perpendicular to AEΓ. If the arc

[a] *v. supra*, p. 420 n. *a*.

φερείας δοθείσης ἥ τε ὑπὸ ΑΔΖ γωνία τὴν ἡμίσειαν αὐτῆς ὑποτείνουσα δεδομένη ἔσται καὶ ὅλον τὸ ΑΔΖ τρίγωνον, δῆλον· ἐπεὶ δὲ τῆς ΑΓ



εὐθείας ὅλης δεδομένης ὑπόκειται καὶ ὁ τῆς ΑΕ πρὸς ΕΓ λόγος ὁ αὐτὸς ὢν τῷ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΑΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΓ, ἥ τε ΑΕ ἔσται δοθεῖσα καὶ λοιπὴ ἡ ΖΕ. καὶ διὰ τοῦτο καὶ τῆς ΔΖ δεδομένης δοθήσεται καὶ ἥ τε ὑπὸ ΕΔΖ γωνία τοῦ ΕΔΖ ὀρθογωνίου καὶ ὅλη ἡ ὑπὸ ΑΔΒ· ὥστε καὶ ἥ τε ΑΒ περιφέρεια δοθήσεται καὶ λοιπὴ ἡ ΒΓ· ὅπερ ἔδει δεῖξαι.

Πάλιν ἔστω κύκλος ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ, καὶ ἐπὶ τῆς περιφερείας αὐτοῦ εἰλήφθω τρία σημεῖα τὰ Α, Β, Γ, ὥστε ἑκατέραν τῶν ΑΒ, ΑΓ περιφερειῶν ἐλάσσονα εἶναι ἡμικυκλίου· καὶ ἐπὶ

ΑΓ is given, it is then clear that the angle ΑΔΖ, subtending half the same arc, will also be given and therefore the whole triangle ΑΔΖ ; and since the whole chord ΑΓ is given, and by hypothesis

ΑΕ : ΕΓ = the chord subtended by double of the arc ΑΒ :
the chord subtended by double of the arc ΒΓ,

[*i.e.* = sin ΑΒ : sin ΒΓ],

therefore ΑΕ will be given [Eucl. *Dat.* 7], and the remainder ΖΕ. And for this reason, ΔΖ also being given, the angle ΕΔΖ will be given in the right-angled triangle ΕΔΖ, and [therefore] the whole angle ΑΔΒ ; therefore the arc ΑΒ will be given and also the remainder ΒΓ ; which was to be proved.

Again, let ΑΒΓ be a circle about centre Δ, and let



three points Α, Β, Γ be taken on its circumference so that each of the arcs ΑΒ, ΑΓ is less than a semicircle ;

τῶν ἑξῆς δὲ λαμβανομένων περιφερειῶν τὸ ὅμοιον ὑπακουέσθω· καὶ ἐπιζευχθεῖσαι ἥ τε ΔΑ καὶ ἡ ΓΒ ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Ε σημεῖον. λέγω, ὅτι ἐστίν, ὡς ἡ ὑπὸ τὴν διπλῆν τῆς ΓΑ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΑΒ, οὕτως ἡ ΓΕ εὐθεῖα πρὸς τὴν ΒΕ.

Ὁμοίως γὰρ τῷ προτέρῳ λημματίῳ, ἐὰν ἀπὸ τῶν Β καὶ Γ ἀγάγωμεν καθέτους ἐπὶ τὴν ΔΑ τήν τε ΒΖ καὶ τὴν ΓΗ, ἔσται διὰ τὸ παραλλήλους αὐτὰς εἶναι, ὡς ἡ ΓΗ πρὸς τὴν ΒΖ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΒ· ὥστε καί, ὡς ἡ ὑπὸ τὴν διπλῆν τῆς ΓΑ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΑΒ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΒ· ὅπερ ἔδει δεῖξαι.

Καὶ ἐνταῦθα δὲ αὐτόθεν παρακολουθεῖ, διότι, κἂν ἡ ΓΒ περιφέρεια μόνη δοθῇ, καὶ ὁ λόγος ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΑ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΑΒ δοθῇ, καὶ ἡ ΑΒ περιφέρεια δοθήσεται. πάλιν γὰρ ἐπὶ τῆς ὁμοίας καταγραφῆς ἐπιζευχθείσης τῆς ΔΒ καὶ καθέτου ἀχθείσης ἐπὶ



τὴν ΒΓ τῆς ΔΖ ἡ μὲν ὑπὸ ΒΔΖ γωνία τὴν ἡμίσειαν ὑποτείνουσα τῆς ΒΓ περιφερείας ἔσται

and upon the arcs taken in succession let there be a similar relationship; and let ΔA be joined and let ΓB be produced so as to meet it at the point E. I say that

the chord subtended by double of the arc ΓA :
the chord subtended by double of the arc AB

[*i.e.*, sin ΓA : sin AB] = ΓE : BE.

For, as in the previous lemma, if from B and Γ we draw BZ and ΓH perpendicular to ΔA, then, by reason of the fact that they are parallel,

ΓH : BZ = ΓE : EB. [Eucl. vi. 4

∴ the chord subtended by double of the arc ΓA :
the chord subtended by double of the arc AB

[*i.e.*, sin ΓA : sin AB] = ΓE : EB; . . . (4)

which was to be proved.

